Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qnq-be

*Αἴλιος Ἡρωδιανός* · Herodian of Alexandria

# On Verbal Nouns

## *Περὶ ῥηματικῶν ὀνομάτων*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

3,2 898 λογώτερόν ἐστι κατὰ τὴν κοινὴν διάλεκτον βαρυνόμενον τοῦ παρὰ τοῖς Ἀττικοῖς ὀξυνομένου. τὸ δὲ ληστής ἀπὸ τρισυλλάβου ληϊστής ἐγένετο. E. M. 436, 8: τὰ εἰς της λήγοντα ἀρσενικὰ καθαρὸν ἔχοντα τὸ τ βραχείᾳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς βαρύνεται καὶ ἁπλᾶ ὄντα, ἀρότης, ἐργάτης. σεσημείωται τὸ εὑρετής. τὸ μέντοι λυριστής, λεπιστής, χλευαστής ὀξύνεται, ὅτι οὐ καθαρὸν τὸτ· τὸ ἀθλητής, μαχητής, μαθητής, ὅτι οὐ βραχεῖαν ἔχει τὴν παραλήγουσαν. Arc. 26, 22: τὰ εἰς ατης τὸ α μακρὸν ἔχοντα ῥηματικὰ θεατής, πειρατής ὀξύνεται. Arc. 27, 4: τὰ εἰς υτης τὸ υ μακρὸν ἔχοντα ῥηματικὰ ὀξύνεται κωλυτής, μηνυτής. Arc. 27, 11; 117, 9, E. M. 628, 2, Choer. Dict. 54, 10: τὰ εἰς ης ἐπίθετα παρὰ ῥῆμα σύνθετα εἰς ους ποιοῦντα τὴν γενικὴν ὀξύνεται εὐσεβής, εὐλαβής, θεοφιλής, αὐτοσφαγής, πολυδευκής, Πολυδεύκης δὲ τὸ κύριον βαρύνεται. βαρύνεται δὲ τὰ παρὰ τὸ ὄλω πανώλης, ἐξώλης, προώλης καὶ τὰ παρὰ τὸ ἀρκῶ αὐτάρκης καὶ τὰ παρὰ τὸ ἀντῶ προσάντης καὶ τὰ παρὰ τὸ ἅδω αὐθάδης. τὰ μέντοι παρὰ ῥῆμα σύνθετα εἰς ου ἔχοντα τὴν γενικὴν βαρύνεται οἷον πωλῶ παντοπώλης, μετρῶ γεωμέτρης, παιδοτρίβης, χρεωφείλης, ναυβάτης, ἐργομίσης, προτύπτης. Περὶ τῶν εἰς ις . Arc. 29, 7: τὰ εἰς ις ἐσχηματισμένα ἀπὸ βαρυτόνων μελλόντων ἢ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνεται καὶ συστέλλει τὸ ι , ποιήσω ποίησις, γνώσω γνῶσις, πράξω πρᾶξις, πέφανσαι φάνσις, μεμίανσαι μίανσις. τὸ δὲ ἁψίς σεσημείωται μακρὸν ἔχον τὸ ι . Eustath. 1339, 19 et 620, 14: τὸ τροφαλίς εἴρηται παρὰ τὸ τρέφεσθαι ὅ ἐστι πήγνυσθαι, ἐξ οὗ καὶ τὸ τρόφι κῦμα εἴρηται. Arc. 31, 25: τὰ εἰς ξις καὶ ψις ἀπὸ μελλόντων ἐσχηματισμένα βαρύνεται, ἕξω ἕξις, λέξω λέξις, ψύξω ψύξις. σεσημείωται ἁψίς ὀξυνόμενον. E. M. 475, 45, Choer. Orth. 221, 7: τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα βαρύτονα ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι οἷον χαίρω χάρις, εἴρω Ἶρις, δαίω δῆρις, τὸ δὲ κουρίς τὸ ἐργαλεῖον τοῦ κουρέως ὀξύνεται. τὸ δὲ Χαῖρις Χαίριδος ὄνομα κύριον ἀρσενικόν ἐστι. Arc. 34, 19: τὰ εἰς σις ἀπὸ μέλλοντος γινόμενα ἢ ἀπὸ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνεται ποιήσω ποίησις, λύσω λύσις, κέκρισαι κρίσις. Περὶ τῶν εἰς ος . Ep. Cr. I 77: παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι ἀλαός ὁ περιπλανώμενος. Il. Pr. Ψ 160: τὰ εἰς ος λήγοντα ὀνόματα παρὰ ῥῆμα γινόμενα καθαρεύοντα καὶ τῷ ε παραληγόμενα ὀξύνεσθαι θέλει, φωλεύω φωλεός, ὀχεύω ὀχεός καὶ πλεονασμῷ τοῦ ς ὀσχεός. καὶ παρὰ τὸ σωρεύω δὲ ὁ

3,2 899 σωρεός, τὸ δὲ σωρός κατὰ συγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεός ἔσται κατ' ὀξεῖαν τάσιν. ἀλλ' οὖν γε βαρυτόνως οἱ πλείους ἀνέγνωσαν πλεονασμὸν ἐκδεξάμενοι τοῦ ε

ὥστε παρὰ τὴν λόχου γενικὴν λόχοιο γενέσθαι καὶ λοχέοιο. παρὰ κηδεύω δὲ κηδεός. κελεύω Κελεός ὄνομα κύριον, ὠρεύω Ὠρεός. Suid. s. ῥωγαλέος, E. M. 261, 56: τὰ διὰ τοῦ αλεος ἀπὸ τριῶν παράγεται μερῶν, ἀπὸ ὀνόματος δεῖμα δειμαλέος, ἀπὸ ῥήματος οἰδῶ οἰδαλέος, ἀπὸ ἐπιρρήματος ῥίμφα ῥιμφαλέος. E. Orion. 57, 12, E. M. 380, 30: ὥσπερ ἀπὸ τοῦ ἁρμόζω γίνεται ἁρμόδιος τὸν αὐτὸν τρόπον ἀπὸ τοῦ ῥοίζω γίνεται ῥοίδιος καὶ πλεονασμῷ τοῦ ε καὶ ἐκτάσει τοῦ ο εἰς ω ἐρῳδιός καὶ μένει τὸ ι προσγεγραμμένον. Arc. 41, 8, Choer. Orth. 173, 26: τὰ ἀπὸ ἐνεστώτων γενόμενα εἰς ιος προπαροξύνεται αἰτῶ αἴτιος, ἁρμόζω ἁρμόδιος, ἀρκῶ ἄρκιος, ἀρτῶ ἄρτιος. τὸ δὲ ἀντῶ ἀντίος σεσημείωται παροξυνόμενον. Arc. 41, 12: τὰ εἰς ιος ἀπὸ μέλλοντος γινόμενα προπαροξύνεται, ὀρθώσομαι Ὀρθώσιος, ἀσπάσομαι ἀσπάσιος, φυλάξομαι φυλάξιος, ἀλέξω ἀλέξιος, κτήσω κτήσιος, αἰνήσω Αἰνήσιος, ἀρκέσιος καὶ πλεονασμῷ τοῦ ι Ἀρκείσιος, ἄρσω ἄρσιος καὶ ἀνάρσιος, ἄξω ἄξιος, θαυμάσω θαυμάσιος. τὸ μέντοι πλήσω πλησίος καὶ τὸ δέξομαι δεξιός καὶ ἕψομαι ἀνεψιός. Arc. 43, 2: τὸ ἐπιπόλαιος οὐκ ἀπὸ τοῦ ἐπιπολῆς παρῆκται, ἀλλὰ παρὰ τὸ ἐπιπολάζω. οἱ πλείους αὐτὸ περισπῶσιν. Il. Pr. Λ 301: τὸ Πείραιος προπαροξυνόμενον παρὰ ῥῆμα τὸ πειρῶ ὡς παρὰ τὸ φιλῶ Φίλαιος καὶ παρὰ τὸ βέβηκα βέβαιος. Arc. 43, 10, Il. Pr. Ε 69: τὸ Τίμαιος προπαροξυνόμενον ἔχει ἀφορμήν, ὅτι ῥῆμα αὐτοῦ προκατάρχει Il. Pr. Ε 69: πολλάκις τὰ εἰς αιος τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, εἰ ῥῆμα αὐτῶν προκατάρχοι ὥσπερ ἔχουσι τὸ βέβαιος (παρὰ γὰρ τὸ βέβηκα) ὡς τὸ Φίλαιος, τὸ Νίκαιος, τὸ Τίμαιος. τοιοῦτον καὶ τὸ Πήδαιος. οὐ γάρ, ὡς οἴεται ὁ Ἅβρων, παρὰ τὴν πῆδον (?)· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχηματίσθαι. Arc. 57, 19: τὰ διὰ τοῦ ωλος ὑπερδισύλλαβα ῥηματικὰ ἔχοντα τὴν τρίτην μακρὰν ὀξύνεται, φειδωλός, Αἰτωλός, ἁμαρτωλός. Il. Pr. Φ 575: κυνυλαγμός: τὰ εἰς γμος ῥηματικὰ μετὰ προθέσεως πέφυκε συντίθεσθαι τῆς αὐτῆς τάσεως μενούσης, μετ’ ἄλλου δὲ οὐδενός. καὶ τὸ ὑλαγμός οὖν παρὰ τὸ ὑλάσσειν γεγονὸς οὐ συντεθήσεται μετ’ ἄλλου μέρους λόγου. σύνδεσμος οὖν ἐστιν ὁ κέν. Ep. Hom. 349, 3: Πρίαμος ἐκ τοῦ πρίαμαι. ἐπράθη γὰρ καὶ ταύτης τῆς ἐπωνυμίας ἔτυχεν, ὡς ἱστορεῖ Λυκόφρων (v. 338) «ὠνητὸς αἰθαλωτόν». E. M. 447, 18, Choer. Ep. in Psalm. 162, 13: ποταμός παρὰ τὸ ποτάζω ποτάσω ποτασμός καὶ ποταμός. οὕτως Ἡρωδιανό ς.

3,2 900 E. M. 194, 33: ἔστι ῥῆμα βέλλω, παρ’ ὃ βέλεμος ὡς ἔχω Ἔχεμος, Τήλεμος· πλεονασμῷ τοῦ ν βέλεμνος καὶ βέλεμνον. Ἡρωδιανὸς περὶ παθῶν. E. M. 793, 45: τὰ εἰς ινος ὀνόματα εἰ ἀπὸ ῥήματος παραχθῇ, ἢ ἀπὸ ἐνεστῶτος ἢ ἀπὸ μέλλοντος παράγεται, ἔχω Ἐχῖνος, πράξω Πραξῖνος. St. B. Νάξος νῆσος ἀπὸ τοῦ Νάξου. τινὲς δὲ παρὰ τὸ νάξαι, ὅ φασι θῦσαί τινες. St. B. Ὄαξος πόλις Κρήτης ἀπὸ Ὀάξου. τινὲς δὲ διὰ τὸ καταγῆναι τὸν τόπον καὶ κρημνώδη ὑπάρχειν. καλοῦσι γὰρ τοὺς τοιούτους τόπους ἄξους καθάπερ καὶ ἡμεῖς ἀγμούς. St. B. s. Ἀσκάλων. Ἄραξος Ἀράξης ὡς ἀπὸ τοῦ χαράξω Χάραξος Χαράξης. E. Or. 77: ἶπος παρὰ τὸ ἴπτω καὶ ἰάπτω ὡς κόπτω κόπος. Ἡρωδιανό ς. Arc. 66, 24: τὰ εἰς πος δισύλλαβα μὴ ἐπιθετικὰ ἔχοντα τὸ ο ἐν τῇ παραληγούσῃ, εἰ μὴ ὑποστρέφει εἰς ῥῆμα τῷ ε παραληγόμενον, βαρύνεται, τρόπος ὁ τρέπων, τροπός ὁ τετραμμένος. Arc. 68, 16: τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ο βαρύνεται, ὁπότε γίνεται ἀπὸ τῶν παραληγομένων τῷ ε ἢ ει ἢ αι διφθόγγῳ ῥημάτων, εἰ μή τις διαστολὴ γένοιτο, σπόρος ὅτι σπείρω, πτόρος ὁ πταρμός ὅτι πταίρω, φθόρος ὅτι φθείρω, μόρος ὅτι μείρω, κόρος ὅτι κείρω, φόρος ὅτι φέρω, φορός δὲ ὁ ἄνεμος ὀξυτόνως, ὅρος, εἴρω γάρ. —τὸ μέντοι βορός ὁ πολλὰ ἐσθίων καὶ τὸ χορός καὶ σορός ὁ τάφος καὶ τορός ὀξύνεται. οὐ γὰρ γίνεται ἀπὸ τοιούτων ῥημάτων. σεσημείωται τὸ δορός ὁ δεδαρμένος, εἰ καὶ ἐκ τοῦ δείρω γίνεται. E. Or. 100, 4: τὰ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ θέλει παραλήγεσθαι οἷον ἀΐσσω αἴγειρος, μάσσω μάγειρος, ὀνῶ ὄνειρος. Arc. 75, 8: τὸ Σῶσος ἀπὸ τοῦ σώσω βαρύνεται, ὡσαύτως καὶ Βλῶσος παρὰ τὸν βλώσω μέλλοντα γεγονός. St. B. Ταρσός τινὲς παρὰ τὸ τερσανθῆναι, οἱ δὲ παρὰ τὸ τερσῆναι, ἄλλοι δὲ παρὰ τὸν ταρσόν. Herod. in E. M. 714, 34: ὥσπερ παρὰ τὸ ἐργάζομαι γίνεται ἐργαστής καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποβολῇ τοῦ ς ἐργάτης βαρυνόμενον καὶ ἀπὸ τοῦ δεσποστής δεσπότης, οἰστός οἶτος, οὕτω καὶ παρὰ τὸ σέσεισται σειστός καὶ ἀποβολῇ τοῦ ς καὶ ε σῖτος. Arc. 87, 5: τὰ εἰς τος ῥηματικὰ πρὸ τοῦ τ τὸ κ ἢ τὸ π ἔχοντα ὀξύνεται, πλεκτός, ἑλκτός, πνικτός, θελκτός, πεμπτός, ἑκτός ὁ ἐχόμενος. Arc. 80, 25: τὰ διὰ τοῦ ατος ῥηματικὰ ἀπὸ τῶν εἰς μι ἢ ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων προπαροξύνεται, ἐρατός, ἐλατός, περατός, θεατός, φυρατός, ἰατός.

3,2 901 Arc. 83, 10: τὰ εἰς τος ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ τ ψιλὸν κατ᾽ ἐπιπλοκὴν ἐπιθετικὰ ὄντα καὶ ῥηματικὰ ὀξύνεται, ἑλικτός, ἀμελκτός, χαρακτός, ὀρεκτός. —83, 8: ὀξύνεται ἱμερτός, ἐγερτός, ὑφαντός ῥηματικά. Arc. 83, 22: τὰ εἰς στος ἐπιθετικὰ ἁπλᾶ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ληϊστός, μεριστός, ὀνομαστός. τὰ δὲ σύνθετα προπαροξύνεται κτλ. Περὶ τῶν εἰς α . Mon. 12, 25: τὰ εἰς σα λήγοντα θηλυκὰ ὀνόματα τῇ ου διφθόγγῳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς ὁρᾶται. σχηματίζεται δὲ κατὰ τὸ πλεῖστον ἢ μετατίθεται ἀπὸ μετοχῶν, αἴθουσα αἴθουσσα, Φέρουσα, Κρέουσα, Μέδουσα, Ἀρέθουσα. οὐδὲν δ᾽ ὅ τι οὖν ὤφθη δισύλλαβον εἰς α λῆγον τῇ ου διφθόγγῳ παραληγόμενον ὁμοίως ἐν χρήσει τῇ τῶν παλαιῶν καὶ ἐν κοινῇ συνηθείᾳ, εἰ μὴ μόνον τὸ μοῦσα. Eustath. 1766, 29 et 1819, 39: κνῖσα γίνεται ἀπὸ μέλλοντος τοῦ κνίζω κνίσω. διὸ καὶ δι᾽ ἑνὸς γράφεται ς καὶ ἔκτασιν ἔλαβε τοῦ ι . St. B. s. v. et Eustath. ad Dionys. 409: Πῖσα παρὰ τὸν πίσω μέλλοντα, οὗ ἡ χρῆσις παρὰ Πινδάρῳ. Πίνδαρος δὲ κατὰ συστολὴν τὴν πόλιν εἶπε Πίσαν. E. Gud. 330, 59: τὸ κνύζα ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου ἀπὸ τοῦ κνύω, ἀφ᾽ οὗ κνύος ἡ φθορά οἷον «κατὰ κνύος—ἔχευεν, ψίλωτο δὲ—κάρηνα» (Hes. frg. XLII) γίνεται ὡς παρ᾽ Ἀνακρέοντι «κνύζη τις ἤδη καὶ πέπειρα γενομένη σὴν διὰ μαργοσύνην». Choer. 181, 1: τὰ διὰ τοῦ εια θηλυκὰ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω , εἰ μὴ ᾖ ἀπὸ τῶν εἰς μων ὀξυτόνων ὡς ἡγεμών ἡγεμονεύω ἡγεμονία, διὰ τῆς ει διφθόγγου γράφεται καὶ παροξύνεται, ἀλαζονεύω ἀλαζονεία κτλ. Arc. 99, 3, Theogn. 105, 16: τὰ διὰ τοῦ ια παρὰ μελλόντων γινόμενα παροξύνεται, ὀρέξω ἀνορεξία, πέψω ἀπεψία, προδώσω προδοσία. περὶ ποσότητος 300, 12: τὰ ἀπὸ ἐνεστώτων παρηγμένα θηλυκὰ εἰς εια προπαροξύνεται, ἀπόλω ἀπώλεια, μήδω Μήδεια, θέρω θέρεια, θάλλω Θάλεια, ἀνθῶ Ἄνθεια. St. B. s. ἀγυιά: Ἡρακλέων ὁ Γλαύκου παρὰ τὸ ἄγω φησίν. ἔστι δὲ ὡς παρὰ τὸ ἅρπω ἅρπυια, ὀρέγω ὀρέγυια. Περὶ τῶν εἰς η . Ep. Cr. I 94, 33: τὰ εἰς η καθαρὸν τῷ ο παραληγόμενα ὧν προκατάρχῃ ῥῆμα τῷ ε παραληγόμενον πάντα ὀξύνεται, ζέω ζοή, πνέω πνοή, χέω χοή. E. M. 50, 10: τὰ εἰς ω καθαρὸν λήγοντα βαρύτονα ῥήματα τὴν

3,2 902 παραλήγουσαν ἐν τοῖς ῥηματικοῖς ὀνόμασι βραχεῖαν ἔχει, κονίω κονία, φύω φυή, ἀκούω ἀκοή. Il. Pr. E 202, Arc. 104, 4: τὰ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται τῷ ο παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε παραληγομένων μόνῳ οἷον τρέπω τροπή, τρέφω τροφή, νέμω νομή, στρέφω στροφή, ῥοπή, σπονδή, ὁλκή, πλοκή, φορβή. προσέθηκα τῷ ε παραληγόμενα μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη. τοῦτο γὰρ ἀπὸ τοῦ πείρω. Arc. 104, 12: τὰ εἰς βη ἰαμβικὰ ῥηματικὰ ὀξύνεται, λαβή, τριβή. Choer. Ep. in Psalm. 81, 12: τὰ εἰς γη δισύλλαβα προσηγορικὰ ὄντα καὶ ῥηματικὰ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν ὀξύνεται οἷον φθογγή, κλαγγή, ὀργή καὶ εἴ τι ὅμοιον. Arc. 104, 22: τὰ εἰς γη ἰαμβικὰ ῥηματικὰ ὄντα ὀξύνεται, ταγή ἀπὸ τοῦ τάσσω, φυγή, σφαγή. Arc. 106, 15: τὰ εἰς κη ἰαμβικά, εἰ μὲν τῷ ο παραλήγοιτο, ὀξύνεται ῥηματικὰ ὄντα, πλέκω πλοκή, δέκω δοκή ἡ ὑπόνοια, πέκω ποκή τὸ ἔριον. Arc. 107, 2: ἡ φυλακή ἀπὸ τοῦ φυλάσσω ὡς ἰακή ἀπὸ τοῦ ἰάζω. —E. M. 95, 50: τὸ δὲ ἀνάγκη εἰ ἦν ἀπὸ ῥήματος τοῦ ἀνάσσω, ὀξύνοιτο ἂν ὡς στενάχω στεναχή. Il. Pr. O 709: τὸ ἀϊκή ὠξυτονήθη ἴσως ὅτι ῥηματικὸν ὑπῆρχεν ἀπὸ τοῦ ἀΐσσω ὡς φυλάσσω φυλακή, ὑλάσσω ὑλακή. Theogn. 110, 22: τὰ διὰ τοῦ ολη ῥηματικὰ ὄντα ὀξύνεται, στέλλω στολή, βάλλω βολή, χέω χολή. Arc. 108, 23: τὸ ἀλαλή ὁ θόρυβος παρὰ τὸ λαλῶ. Choer. Orth. 280, 30: ὠτειλή ἀπὸ τοῦ οὐτήσω οὐτηλή τροπῇ τῆς ου διφθόγγου εἰς ω καὶ τοῦ η εἰς τὴν ει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίφθογγον Βοιωτιακῶς ὡς πένης πένεις. λέγεται δὲ παρ’ Αἰολεῦσιν ὠτέλλη. An. Ox. II 394, 26, Arc. 110, 9: τὰ εἰς μη καθαρὸν ἰαμβικὰ τὸ ο παραληγόμενα ὀξύνεται, ὁπότε προϋπάρχει ῥῆμα διὰ τοῦ ε κατὰ τὴν παραλήγουσαν οἷον νομή, ἀνατομή, προνομή. E. M. 40, 29: Αἴτνη ὄρος Σικελίας. παρὰ τὸ αἴθω τὸ καίω αἴτνη ὡς φάγω φάτνη, πήσσω πάχνη. Arc. 112, 21: τὸ φωνή ἀπὸ τοῦ φωνῶ καὶ ὠνή ἀπὸ τοῦ ὠνῶ ὀξύνεται. Arc. 113, 9: τὸ μολπή ἀπὸ τοῦ μέλπω καὶ πομπή ἀπὸ τοῦ πέμπω ὀξύνεται. Περὶ τῶν εἰς ω . St. B.: Χορτασώ πόλις Αἰγύπτου. ἀπὸ μέλλοντος ὁ σχηματισμός. ὡς γὰρ τοῦ καλύψω ἡ Καλυψώ, οὕτω καὶ τοῦ χορτάσω Χορτασώ.

3,2 903 (1t) Περὶ οὐδετέρων. Il. Pr. O 76: ἴκρια ὡς δέμνια. ἔστι γὰρ ῥηματικόν, ὡς ἐν ἑτέροις εἴρηται. E. M. 135, 5: παρὰ τὸ ἀράσσω ἀράχνιον ὡς δέμω δέμνιον, παίζω παίγνιον. p. 480, 49 τὸ ἴχνιον προπαροξυτονητέον ὁμοτόνως τῷ ἀράχνιον· οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ’ ἀπὸ ῥήματος ἐσχημάτισται. E. M. 520, 15: τὸ κλισίον παρὰ τὸ κλείω ἐστίν, ὃ σημαίνει τὸ περιέχω. Mon. 22, 2, Theogn. 19, 20: ὕψος γέγονε παρὰ τὸ ὄπτω τὸ βλέπω ὄψω ὄψος καὶ τροπῇ Αἰολικῇ ὕψος. Ep. Hom. 63, 21: γίνεται ἀπὸ μελλόντων ὀνόματα οὐδέτερα ὡς παρὰ τὸ ἅψω ἅψος, πίσω πίσεα. Eustath. 1446, 9: κνύος ἡ φθορά παρὰ τὸ κνύω παρ’ Ἡσιόδῳ ὡς παρὰ τὸ θύω θύος καὶ φλύω φλύος παρὰ Ἀρχιλόχῳ ἐπὶ φλυαρίας. Περὶ μονοσυλλάβων. E. Gud. 565, 52: χθών· γίνεται παρὰ τὸ χῶ ῥῆμα χών καὶ χθών. E. M. 638, 54: οὗς. παρὰ τὸ αὔω τὸ φωνῶ γίνεται αὖας καὶ τροπῇ τοῦ α εἰς ο οὖας. ἐκ τούτου γίνεται κατὰ ἀποβολὴν τοῦ υ ὄας καὶ κατὰ κρᾶσιν οὗς καὶ κατὰ Δωριεῖς ὦς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org